τῆς βασιλείας ἔφησεν υἱοί, οἱ ταύτης μὲν ἐκβαλλόμε-
νοι, τῷ σκότει δὲ τῷ ἐξωτέρῳ καταδικαζόμενοι, οὕτοι εἰσὶν
οὓς σύ τε καὶ οἱ κατὰ σὲ ἁγίους καλοῦσι καὶ νομίζουσιν. Οἳ
καὶ δαίμονας θεραπεύουσι καὶ πάθη φυγαδεύουσιν. Οἷς
καὶ προσάγειν διεγνώκατε σέβας, τὸν μόνον ζῶντα καὶ ἀθά-
νατον καταλιπόντες θεόν. Οὕτοι γάρ, οὕτοι καὶ περὶ τοῦ δι-
κάσαντος ἐκεῖθεν ἀκούσει κριτοῦ. Ἀποχωρεῖτε ἀπ' ἐμοῦ, ὅτι οὐδέποτε
ἔγνων ὑμᾶς. Ἐκ ταύτης τῆς πονηρᾶς καὶ ὀλεθρίου σπο-
ρᾶς τὸν ἔσχατον εἰς γεωργίαν τῶν ζιζανίων ἑαυτῆς ποι-
ησαμένη τὴν λοιπὴν τῶν ἀσεβημάτων βλάστην εὐ-
χερῶς εἶχεν αὐτόματον ἀναφυομένην· καὶ οὕτω πάσης
λύμης καὶ διαφθορᾶς τὴν ἐκείνου ψυχὴν καρποφόρον
χωρίον ἀνέδειξεν, ὡς καὶ τοὺς ἔμπροσθεν πάντας ἐπ'
ἀσεβείᾳ βεβοημένους, καὶ μάλιστα ταύτῃ, παῖδας νο-
μισθῆναι τῇ ἐκείνου παραμετρουμένους ῥᾳδιουργίᾳ τε καὶ
τοῖς ἐπικλόποις ἤθεσι, καὶ τῇ ἄλλῃ τῆς ἀπάτης μη-
χανουργίᾳ τε καὶ περινοίᾳ. Οἱ μὲν γὰρ πρὸ αὐτοῦ, εἰ
καὶ τῷ βορβόρῳ τῆς ἀκολασίας, καὶ τῇ ἄλλῃ τῶν
ἔργων ἀρρητουργίᾳ, καὶ ταῖς εἰς θεὸν ἀνυπερβλήτοις
βλασφημίαις τὸ πρωτεῖον εἶχον· ἀλλ' οὖν βδελυκτοί τι
καὶ ἀποτρόπαιοι μικροῦ πᾶσιν ἐνομίζοντο τοῖς ἀνθρώ-
ποις, τῷ προδήλῳ τοῦ μύσους, ὧν ἐτόλμων, πάντας
ἔχοντες μισοῦντας. Καὶ ὀλίγους ἦν ὁρᾶν πρὸς τὴν ἐ-
κείνων ἀπάτην μεταχωροῦντας· ἀπερικαλύπτως
καὶ χωρὶς τεχνασμάτων τῶν ἀσέμνων ἔργων προκει-
μένων, καὶ τῆς ἀνέδην ἀποστασίας εἰς προφυλακὴν
ἀρκούσης τοῦ μὴ θᾶττον πρὸς αὐτὴν ὑπολισθαίνειν
καὶ